**ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον /**
**anapaesticum dimetrum brachycatalectum**

Hephaest. 48. 4 sqq. δύναται δὲ καὶ εἰς τρίτον ἀνάπαιστον διαιρεῖσθαι, εἰ ἀπὸ σπονδείου ἄρχοιτο, οἷον τὸ Σαπφοῦς· (fr. 124 Voigt)

αὐτὰ δὲ σὺ Καλλιόπα,

τοῦ προσοδιακοῦ ὂν καὶ τοῦτο εἶδος [τὸ ἐξ ἰωνικοῦ καὶ χοριαμβικοῦ συγκείμενον]. τὸ τοίνυν ἀναπαιστικὸν εἴ τις οὕτω διαιροῖτο, εὑρήσει τῷ προσοδιακῷ ἐφαρμόζον. ἐὰν μὲν γὰρ σπονδεῖον ἔχῃ τὸν πρῶτον, τοὺς δὲ ἑξῆς ἀναπαίστους, τὰς τοῦ δευτέρου ἀναπαίστου δύο βραχείας προσθεὶς τῷ σπονδείῳ ποιήσεις ἰωνικὸν ἀπὸ μείζονος, τὸν δ' ἑξῆς χορίαμβον.

Trich. 383. 12 sq. δίμετρα δὲ (*scil.* ἀναπαιστικά) βραχυκατάληκτα μὲν ὡς τό·

ἐμέθεν μελέων, ἐμέθεν.

Schol. rec. in Pind. *Ol.* 10 (p. 342. 16 sqq. Abel) τὸ ε΄ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ ἰωνικοῦ καὶ χοριάμβου, ἢ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον σπονδείου ἀρχομένου.

Schol. vet. in Pind. *Ol.* 13 (p. 11. 20 sq. Tessier) τὸ θ΄ προσοδιακὸν ἢ ἀναπαιστικόν (*scil.* δίμετρον βραχυκατάληκτον).

Schol. rec. in Pind. *Ol.* 13 (p. 384. 12 sq. Abel) τὸ θ΄ προσοδιακὸν ἐξ ἰωνικοῦ καὶ χοριάμβου· εἰ δὲ βούλει, ἀναπαιστικόν.

Schol. rec. in Pind. *Pyth.* 3 (p. 169. 14 sq. Irigoin) τὸ ια΄ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον ἢ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ ἰωνικοῦ καὶ χοριάμβου.

Schol. in Aesch. *Pers.* 1 (p. 518. 2 sqq. Dindorf) τάδε μὲν Περσῶν] ἡ εἴσθεσις τοῦ παρόντος δράματος ἐκ μονοστροφικῆς ἐστι περιόδου. τὰ δὲ κῶλά εἰσιν ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ, καὶ μονόμετρα ξε΄ ... καί εἰσι τὰ ἑξῆς κῶλα ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα καὶ καταληκτικὰ καὶ ἀκατάληκτα καὶ μονόμετρα μζ΄, ὧν τὸ τελευταῖον τροχαικὸν ἰθυφαλλικὸν διὰ τὰ ἑξῆς.

Schol. in Aesch. *Pers.* 623 (p. 519. 27 sqq. Dindorf) ἑξῆς δὲ τούτων μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν ἐνήλλαξε καὶ τὸ μέτρον. καί εἰσι κῶλα ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ καὶ πενθημιμερῆ καὶ μονοστροφικὰ (*corr.* μονόμετρα) μη΄, ὧν τελευταῖον· (v. 680)

νᾶες ἄναες ἄναες.

Schol. in Aesch. *Pers.* 681 (p. 519. 33 sqq. Dindorf) ἑξῆς δὲ τούτων κῶλα τοῦ χοροῦ ἀναπαιστικὰ γ΄, ὧν τὰ β΄ δίμετρα βραχυκατάληκτα, τὸ δὲ γ΄ δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, ὃ καλεῖται παροιμιακόν ... (36 sq.) ἑξῆς τούτων κῶλα ὅμοια τοῖς ἄνω ἀναπαιστικὰ γ΄.

Schol. in Aesch. *Pers.* 908 (p. 520. 16 sqq. Dindorf) ἰώ, δύστηνος ἐγώ] εἴσθεσις διπλῆς ἐν ἐκθέσει τοῦ δράματος. τὰ δὲ κῶλα τὰ μὲν εἰσιν ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ καὶ πενθημιμερῆ καὶ βραχυκατάληκτα δίμετρα καὶ μονόμετρα.

Schol. in Aesch. *Pers.* 928 (p. 520. 25 sq. Dindorf) αἶ αἶ] τὰ β΄ ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα. τὸ γ΄ μονόμετρον.

Schol. in Aesch. *Pers.* 944 (p. 68. 25 sq. Massa Positano) ἡμέτερα + ἥσω τοι] τῆς τετάρτης ταυτησὶ στροφῆς τὰ κῶλα ι´ ... 31 sq. τὸ θ´ ὅμοιον δίμετρον (*scil.* ἀναπαιστικόν) βραχυκατάληκτον.

Schol. in Aesch. *Pers.* 962 (p. 520. 35 sq. Dindorf) ὀλοοὺς] ἀναπαιστικὰ δ´. τὰ γ´ δίμετρα βραχυκατάληκτα, τὸ δ´ πενθημιμερές.

Schol. in Aesch. *Pers.* 974 (p. 521. 4 sq. Dindorf) ὠγυγίας κατιδόντες] ἀναπαιστικὰ δ´. τὸ α´ ἐφθημιμερές, τὰ γ´ δίμετρα βραχυκατάληκτα.

Schol. in Aesch. *Pers.* 987 (p. 521. 6 sq. Dindorf) ἴυγγά μοι δῆτ᾽ ἀγαθῶν] ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα ε´.

Schol. in Aesch. *Pers.* 987 (p. 71. 5 sqq. Massa Positano) † ἴυγγά με] σύστημα ἕτερον κατὰ περικοπὴν κώλων ε´· τὸ α´ καὶ β´ ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα ... τὸ ε´ ὅμοιον τῷ α´ καὶ β´.

Schol. in Aesch. *sept.* 720-791 (II 2, p. 313. 17 sqq. Smith) οὗτος ὁ χορὸς συνέστηκεν ἐκ κώλων οβ´, ὧν τὰ πρῶτα ιδ´ ἀναπαιστικά· τὰ μὲν δίμετρα βραχυκατάληκτα, τὰ δὲ ἀκατάληκτα, τὰ δὲ καταληκτικά, ἤτοι ἑφθημιμερῆ $F^{pc}$.

Schol. Byz. in Soph. *Oed. tyr.* 1307 (p. 281. 21 sq. Longo) τὸ δ´ καὶ ε´ ὅμοια δίμετρα (*scil.* ἀναπαιστικά) βραχυκατάληκτα.

Schol. in Aristoph. *av.* 327. 7 sq. (p. 59 Holwerda) Tr ἔστι γοῦν τὸ α´ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον.

Schol. in Aristoph. *av.* 451a. 5 sqq. (p. 77 Holwerda) Tr ὁ α´ ἀσυνάρτητος ἐξ ἀναπαιστικῶν διμέτρων βραχυκαταλήκτων καὶ ἰαμβικῆς βάσεως διὰ τὴν ἀδιάφορον ... τὸ ς´ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον.

Schol. in Aristoph. *av.* 1372a. 4 sqq. (p. 201 Holwerda) Tr τὸ γ´ δίμετρον (*scil.* ἀναπαιστικόν) βραχυκατάληκτον ... τὸ ς´ ὅμοιον τῷ γ´ Lh.

Schol. rec. in Aristoph. *nub.* 457a. 8 sqq. (p. 73 Koster) $Tr^1$ τὸ ζ´· (v. 462)

> τὸν πάντα χρόνον μετ᾽ ἐμοῦ

ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον· τὸ η´· (v. 464)

> ζηλωτότατον βίον ἀν-

ἀναπαιστικὸν ὅμοιον.

Schol. rec. in Aristoph. *nub.* 457b. 7 sq. (p. 74 Koster) $Tr^2$ τὸ ζ´ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον· τὸ η´ ὅμοιον.

Schol. rec. anon. in Aristoph. *nub.* 457a. 5 sq. (p. 294 Koster) τὸ ζ´ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον· τὸ η´ ὅμοιον.

Schol. A in Hephaest. 153. 21 sqq. <δύναται δὲ καὶ>] οἷον ὡς ἀναπαιστικὸν τρεῖς ἔχειν ἀναπαίστους· καὶ γὰρ ὁ πρῶτος σπονδεῖος δυνάμει ἀνάπαιστός ἐστι καὶ οἱ ἑξῆς πάλιν ἐν τῷ αὐτῷ, ὡς συνέμπωσιν εἶναι τῷ προσοδιακῷ πρὸς ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον τό· (Sapph. 124 Voigt)

> αὐτὰ δὲ σὺ Καλλιόπα·

δύναται δὲ τοῦτο καὶ ἰωνικὸς ἀπὸ μείζονος εἶναι, ἐὰν ποδισθῇ οὕτως ʻαὐτὰ δὲ σύ᾽, καὶ ἑξῆς χορίαμβος, ὅπερ ἐστὶ προσοδιακόν.

Apthon. GL VI 76. 13 sqq. tres autem pedes <vel> tripodia, ut Graeci dicunt, dimetrum (*scil.* anapaesticum) brachycatalectum faciunt ita:

> super ardua fertur equis.

Atil. Fortvn. GL VI 285. 21 sq. dimetrum (*scil*. anapaesticum) brachycatalectum:

similes nobis volumus.

Serv. GL IV 462. 3 sqq. de aristophanio. aristophanium constat dimetro (*scil*. anapaestico) brachycatalecto, ut est hoc:

venit optima Calliope.

Fragm. Bob. GL VI 624. 27 sq. dimetrum (*scil*. anapaesticum) brachycatalectum:

super ardua fertur equis. [*M.E.*]